# ΠΕΤΡΟΥ Α΄

1 πετροσ αποστολοσ ιησου χριστου εκλεκτοισ
παρεπιδημοισ διασπορασ ποντου γαλατιασ καππαδοκιασ
ασιασ και βιθυνιασ
2 κατα προγνωσιν θεου πατροσ εν αγιασμω πνευματοσ
εισ υπακοην και ραντισμον αιματοσ ιησου χριστου χαρισ
υμιν και ειρηνη πληθυνθειη
3 ευλογητοσ ο θεοσ και πατηρ του κυριου ημων ιησου
χριστου ο κατα το πολυ αυτου ελεοσ αναγεννησασ ημασ
εισ ελπιδα ζωσαν δι αναστασεωσ ιησου χριστου εκ νεκρων
4 εισ κληρονομιαν αφθαρτον και αμιαντον και
αμαραντον τετηρημενην εν ουρανοισ εισ υμασ
5 τουσ εν δυναμει θεου φρουρουμενουσ δια πιστεωσ εισ
σωτηριαν ετοιμην αποκαλυφθηναι εν καιρω εσχατω
6 εν ω 3739 R-DSM αγαλλιασθε ολιγον αρτι ει δεον
εστιν λυπηθεντεσ εν ποικιλοισ πειρασμοισ
7 ινα το δοκιμιον υμων τησ πιστεωσ πολυ τιμιωτερον
χρυσιου του απολλυμενου δια πυροσ δε δοκιμαζομενου
ευρεθη εισ επαινον και τιμην και εισ δοξαν εν αποκαλυψει
ιησου χριστου
8 ον ουκ ειδοτεσ αγαπατε εισ ον αρτι μη ορωντεσ
πιστευοντεσ δε αγαλλιασθε χαρα ανεκλαλητω και
δεδοξασμενη
9 κομιζομενοι το τελοσ τησ πιστεωσ υμων σωτηριαν
ψυχων
10 περι ησ σωτηριασ εξεζητησαν και εξηρευνησαν
προφηται οι περι τησ εισ υμασ χαριτοσ προφητευσαντεσ
11 ερευνωντεσ εισ τινα η ποιον καιρον εδηλου το εν
αυτοισ πνευμα χριστου προμαρτυρομενον τα εισ χριστον
παθηματα και τασ μετα ταυτα δοξασ

12 οισ απεκαλυφθη οτι ουχ εαυτοισ υμιν δε διηκονουν
αυτα α νυν ανηγγελη υμιν δια των ευαγγελισαμενων
υμασ εν πνευματι αγιω αποσταλεντι απ ουρανου εισ α
επιθυμουσιν αγγελοι παρακυψαι
13 διο αναζωσαμενοι τασ οσφυασ τησ διανοιασ υμων
νηφοντεσ τελειωσ ελπισατε επι την φερομενην υμιν χαριν
εν αποκαλυψει ιησου χριστου
14 ωσ τεκνα υπακοησ μη συσχηματιζομενοι ταισ
προτερον εν τη αγνοια υμων επιθυμιαισ
15 αλλα κατα τον καλεσαντα υμασ αγιον και αυτοι αγιοι
εν παση αναστροφη γενηθητε
16 διοτι γεγραπται αγιοι γινεσθε οτι εγω αγιοσ ειμι
17 και ει πατερα επικαλεισθε τον απροσωποληπτωσ
κρινοντα κατα το εκαστου εργον εν φοβω τον τησ
παροικιασ υμων χρονον αναστραφητε
18 ειδοτεσ οτι ου φθαρτοισ αργυριω η χρυσιω
ελυτρωθητε εκ τησ ματαιασ υμων αναστροφησ
πατροπαραδοτου
19 αλλα τιμιω αιματι ωσ αμνου αμωμου και ασπιλου
χριστου
20 προεγνωσμενου μεν προ καταβολησ κοσμου
φανερωθεντοσ δε επ εσχατων των χρονων δι υμασ
21 τουσ δι αυτου πιστευοντασ εισ θεον τον εγειραντα
αυτον εκ νεκρων και δοξαν αυτω δοντα ωστε την πιστιν
υμων και ελπιδα ειναι εισ θεον
22 τασ ψυχασ υμων ηγνικοτεσ εν τη υπακοη τησ
αληθειασ δια πνευματοσ εισ φιλαδελφιαν ανυποκριτον εκ
καθαρασ καρδιασ αλληλουσ αγαπησατε εκτενωσ
23 αναγεγεννημενοι ουκ εκ σπορασ φθαρτησ αλλα
αφθαρτου δια λογου ζωντοσ θεου και μενοντοσ εισ τον
αιωνα
24 διοτι πασα σαρξ ωσ χορτοσ και πασα δοξα ανθρωπου
ωσ ανθοσ χορτου εξηρανθη ο χορτοσ και το ανθοσ αυτου

εξεπεσεν
25 το δε ρημα κυριου μενει εις τον αιωνα τουτο δε εστιν
το ρημα το ευαγγελισθεν εις υμας

# 2

1 αποθεμενοι ουν πασαν κακιαν και παντα δολον και
υποκρισεις και φθονους και πασας καταλαλιας
2 ως αρτιγεννητα βρεφη το λογικον αδολον γαλα
επιποθησατε ινα εν αυτω αυξηθητε
3 ειπερ εγευσασθε οτι χρηστος ο κυριος
4 προς ον προσερχομενοι λιθον ζωντα υπο ανθρωπων
μεν αποδεδοκιμασμενον παρα δε θεω εκλεκτον εντιμον
5 και αυτοι ως λιθοι ζωντες οικοδομεισθε οικος
πνευματικος ιερατευμα αγιον ανενεγκαι πνευματικας
θυσιας ευπροσδεκτους τω θεω δια ιησου χριστου
6 διοτι περιεχει εν τη γραφη ιδου τιθημι εν σιων λιθον
ακρογωνιαιον εκλεκτον εντιμον και ο πιστευων επ αυτω
ου μη καταισχυνθη
7 υμιν ουν η τιμη τοις πιστευουσιν απειθουσιν δε λιθον
ον απεδοκιμασαν οι οικοδομουντες ουτος εγενηθη εις
κεφαλην γωνιας
8 και λιθος προσκομματος και πετρα σκανδαλου οι
προσκοπτουσιν τω λογω απειθουντες εις ο και ετεθησαν
9 υμεις δε γενος εκλεκτον βασιλειον ιερατευμα εθνος
αγιον λαος εις περιποιησιν οπως τας αρετας εξαγγειλητε
του εκ σκοτους υμας καλεσαντος εις το θαυμαστον αυτου
φως
10 οι ποτε ου λαος νυν δε λαος θεου οι ουκ ηλεημενοι
νυν δε ελεηθεντες
11 αγαπητοι παρακαλω ως παροικους και
παρεπιδημους απεχεσθαι των σαρκικων επιθυμιων
αιτινες στρατευονται κατα της ψυχης

12 την αναστροφην υμων εχοντεσ καλην εν τοισ
εθνεσιν ινα εν ω καταλαλουσιν υμων ωσ κακοποιων εκ
των καλων εργων εποπτευσαντεσ δοξασωσιν τον θεον εν
ημερα επισκοπησ
13 υποταγητε ουν παση ανθρωπινη κτισει δια τον
κυριον ειτε βασιλει ωσ υπερεχοντι
14 ειτε ηγεμοσιν ωσ δι αυτου πεμπομενοισ εισ εκδικησιν
κακοποιων επαινον δε αγαθοποιων
15 οτι ουτωσ εστιν το θελημα του θεου αγαθοποιουντασ
φιμουν την των αφρονων ανθρωπων αγνωσιαν
16 ωσ ελευθεροι και μη ωσ επικαλυμμα εχοντεσ τησ
κακιασ την ελευθεριαν αλλ ωσ δουλοι θεου
17 παντασ τιμησατε την αδελφοτητα αγαπησατε τον
θεον φοβεισθε τον βασιλεα τιματε
18 οι οικεται υποτασσομενοι εν παντι φοβω τοισ
δεσποταισ ου μονον τοισ αγαθοισ και επιεικεσιν αλλα και
τοισ σκολιοισ
19 τουτο γαρ χαρισ ει δια συνειδησιν θεου υποφερει τισ
λυπασ πασχων αδικωσ
20 ποιον γαρ κλεοσ ει αμαρτανοντεσ και κολαφιζομενοι
υπομενειτε αλλ ει αγαθοποιουντεσ και πασχοντεσ
υπομενειτε τουτο χαρισ παρα θεω
21 εισ τουτο γαρ εκληθητε οτι και χριστοσ επαθεν
υπερ ημων υμιν υπολιμπανων υπογραμμον ινα
επακολουθησητε τοισ ιχνεσιν αυτου
22 οσ αμαρτιαν ουκ εποιησεν ουδε ευρεθη δολοσ εν τω
στοματι αυτου
23 οσ λοιδορουμενοσ ουκ αντελοιδορει πασχων ουκ
ηπειλει παρεδιδου δε τω κρινοντι δικαιωσ
24 οσ τασ αμαρτιασ ημων αυτοσ ανηνεγκεν εν
τω σωματι αυτου επι το ξυλον ινα ταισ αμαρτιαισ
απογενομενοι τη δικαιοσυνη ζησωμεν ου τω μωλωπι
αυτου ιαθητε

25 ητε γαρ ως προβατα πλανωμενα αλλ επεστραφητε
νυν επι τον ποιμενα και επισκοπον των ψυχων υμων

# 3

1 ομοιως αι γυναικες υποτασσομεναι τοις ιδιοις
ανδρασιν ινα και ει τινες απειθουσιν τω λογω δια της
των γυναικων αναστροφης ανευ λογου κερδηθησονται
2 εποπτευσαντες την εν φοβω αγνην αναστροφην υμων
3 ων εστω ουχ ο εξωθεν εμπλοκης τριχων και
περιθεσεως χρυσιων η ενδυσεως ιματιων κοσμος
4 αλλ ο κρυπτος της καρδιας ανθρωπος εν τω αφθαρτω
του πραεος και ησυχιου πνευματος ο εστιν ενωπιον του
θεου πολυτελες
5 ουτως γαρ ποτε και αι αγιαι γυναικες αι ελπιζουσαι
επι θεον εκοσμουν εαυτας υποτασσομεναι τοις ιδιοις
ανδρασιν
6 ως σαρρα υπηκουσεν τω αβρααμ κυριον αυτον
καλουσα ης εγενηθητε τεκνα αγαθοποιουσαι και μη
φοβουμεναι μηδεμιαν πτοησιν
7 οι ανδρες ομοιως συνοικουντες κατα γνωσιν ως
ασθενεστερω σκευει τω γυναικειω απονεμοντες τιμην ως
και συγκληρονομοι χαριτος ζωης εις το μη εγκοπτεσθαι
τας προσευχας υμων
8 το δε τελος παντες ομοφρονες συμπαθεις φιλαδελφοι
ευσπλαγχνοι φιλοφρονες
9 μη αποδιδοντες κακον αντι κακου η λοιδοριαν αντι
λοιδοριας τουναντιον δε ευλογουντες ειδοτες οτι εις
τουτο εκληθητε ινα ευλογιαν κληρονομησητε
10 ο γαρ θελων ζωην αγαπαν και ιδειν ημερας αγαθας
παυσατω την γλωσσαν αυτου απο κακου και χειλη αυτου
του μη λαλησαι δολον
11 εκκλινατω απο κακου και ποιησατω αγαθον
ζητησατω ειρηνην και διωξατω αυτην

12 οτι οφθαλμοι κυριου επι δικαιουσ και ωτα αυτου εισ
δεησιν αυτων προσωπον δε κυριου επι ποιουντασ κακα
13 και τισ ο κακωσων υμασ εαν του αγαθου μιμηται
γενησθε
14 αλλ ει και πασχοιτε δια δικαιοσυνην μακαριοι τον δε
φοβον αυτων μη φοβηθητε μηδε ταραχθητε
15 κυριον δε τον θεον αγιασατε εν ταισ καρδιαισ υμων
ετοιμοι δε αει προσ απολογιαν παντι τω αιτουντι υμασ
λογον περι τησ εν υμιν ελπιδοσ μετα πραυτητοσ και φοβου
16 συνειδησιν εχοντεσ αγαθην ινα εν ω καταλαλουσιν
υμων ωσ κακοποιων καταισχυνθωσιν οι επηρεαζοντεσ
υμων την αγαθην εν χριστω αναστροφην
17 κρειττον γαρ αγαθοποιουντασ ει θελοι το θελημα του
θεου πασχειν η κακοποιουντασ
18 οτι και χριστοσ απαξ περι αμαρτιων επαθεν δικαιοσ
υπερ αδικων ινα υμασ προσαγαγη τω θεω θανατωθεισ μεν
σαρκι ζωοποιηθεισ δε πνευματι
19 εν ω και τοισ εν φυλακη πνευμασιν πορευθεισ
εκηρυξεν
20 απειθησασιν ποτε οτε απεξεδεχετο η του θεου
μακροθυμια εν ημεραισ νωε κατασκευαζομενησ κιβωτου
εισ ην ολιγαι τουτ εστιν οκτω ψυχαι διεσωθησαν δι υδατοσ
21 ο αντιτυπον νυν και ημασ σωζει βαπτισμα ου σαρκοσ
αποθεσισ ρυπου αλλα συνειδησεωσ αγαθησ επερωτημα
εισ θεον δι αναστασεωσ ιησου χριστου
22 οσ εστιν εν δεξια του θεου πορευθεισ εισ ουρανον
υποταγεντων αυτω αγγελων και εξουσιων και δυναμεων

# 4

1 χριστου ουν παθοντοσ υπερ ημων σαρκι και υμεισ την
αυτην εννοιαν οπλισασθε οτι ο παθων εν σαρκι πεπαυται
αμαρτιασ

2 εισ το μηκετι ανθρωπων επιθυμιαισ αλλα θεληματι
θεου τον επιλοιπον εν σαρκι βιωσαι χρονον
3 αρκετοσ γαρ ημιν ο παρεληλυθωσ χρονοσ του βιου
το θελημα των εθνων κατεργασασθαι πεπορευμενουσ εν
ασελγειαισ επιθυμιαισ οινοφλυγιαισ κωμοισ ποτοισ και
αθεμιτοισ ειδωλολατρειαισ
4 εν ω ξενιζονται μη συντρεχοντων υμων εισ την αυτην
τησ ασωτιασ αναχυσιν βλασφημουντεσ
5 οι αποδωσουσιν λογον τω ετοιμωσ εχοντι κριναι
ζωντασ και νεκρουσ
6 εισ τουτο γαρ και νεκροισ ευηγγελισθη ινα κριθωσιν
μεν κατα ανθρωπουσ σαρκι ζωσιν δε κατα θεον πνευματι
7 παντων δε το τελοσ ηγγικεν σωφρονησατε ουν και
νηψατε εισ τασ προσευχασ
8 προ παντων δε την εισ εαυτουσ αγαπην εκτενη
εχοντεσ οτι αγαπη καλυψει πληθοσ αμαρτιων
9 φιλοξενοι εισ αλληλουσ ανευ γογγυσμων
10 εκαστοσ καθωσ ελαβεν χαρισμα εισ εαυτουσ αυτο
διακονουντεσ ωσ καλοι οικονομοι ποικιλησ χαριτοσ θεου
11 ει τισ λαλει ωσ λογια θεου ει τισ διακονει ωσ εξ
ισχυοσ ωσ χορηγει ο θεοσ ινα εν πασιν δοξαζηται ο θεοσ
δια ιησου χριστου ω εστιν η δοξα και το κρατοσ εισ τουσ
αιωνασ των αιωνων αμην
12 αγαπητοι μη ξενιζεσθε τη εν υμιν πυρωσει προσ
πειρασμον υμιν γινομενη ωσ ξενου υμιν συμβαινοντοσ
13 αλλα καθο κοινωνειτε τοισ του χριστου παθημασιν
χαιρετε ινα και εν τη αποκαλυψει τησ δοξησ αυτου χαρητε
αγαλλιωμενοι
14 ει ονειδιζεσθε εν ονοματι χριστου μακαριοι οτι το τησ
δοξησ και το του θεου πνευμα εφ υμασ αναπαυεται κατα
μεν αυτουσ βλασφημειται κατα δε υμασ δοξαζεται
15 μη γαρ τισ υμων πασχετω ωσ φονευσ η κλεπτησ η
κακοποιοσ η ωσ αλλοτριοεπισκοποσ

16 ει δε ως χριστιανος μη αισχυνεσθω δοξαζετω δε τον
θεον εν τω μερει τουτω
17 οτι ο καιρος του αρξασθαι το κριμα απο του οικου του
θεου ει δε πρωτον αφ ημων τι το τελος των απειθουντων
τω του θεου ευαγγελιω
18 και ει ο δικαιος μολις σωζεται ο ασεβης και
αμαρτωλος που φανειται
19 ωστε και οι πασχοντες κατα το θελημα του θεου
ως πιστω κτιστη παρατιθεσθωσαν τας ψυχας αυτων εν
αγαθοποιια

# 5

1 πρεσβυτερους τους εν υμιν παρακαλω ο
συμπρεσβυτερος και μαρτυς των του χριστου παθηματων
ο και της μελλουσης αποκαλυπτεσθαι δοξης κοινωνος
2 ποιμανατε το εν υμιν ποιμνιον του θεου
επισκοπουντες μη αναγκαστως αλλ εκουσιως μηδε
αισχροκερδως αλλα προθυμως
3 μηδε ως κατακυριευοντες των κληρων αλλα τυποι
γινομενοι του ποιμνιου
4 και φανερωθεντος του αρχιποιμενος κομιεισθε τον
αμαραντινον της δοξης στεφανον
5 ομοιως νεωτεροι υποταγητε πρεσβυτεροις παντες
δε αλληλοις υποτασσομενοι την ταπεινοφροσυνην
εγκομβωσασθε οτι ο θεος υπερηφανοις αντιτασσεται
ταπεινοις δε διδωσιν χαριν
6 ταπεινωθητε ουν υπο την κραταιαν χειρα του θεου ινα
υμας υψωση εν καιρω
7 πασαν την μεριμναν υμων επιρριψαντες επ αυτον οτι
αυτω μελει περι υμων
8 νηψατε γρηγορησατε ο αντιδικος υμων διαβολος ως
λεων ωρυομενος περιπατει ζητων τινα καταπιη

9 ω αντιστητε στερεοι τη πιστει ειδοτεσ τα αυτα των
παθηματων τη εν κοσμω υμων αδελφοτητι επιτελεισθαι
10 ο δε θεοσ πασησ χαριτοσ ο καλεσασ υμασ εισ την
αιωνιον αυτου δοξαν εν χριστω ιησου ολιγον παθοντασ
αυτοσ καταρτισαι υμασ στηριξει σθενωσει θεμελιωσει
11 αυτω η δοξα και το κρατοσ εισ τουσ αιωνασ των
αιωνων αμην
12 δια σιλουανου υμιν του πιστου αδελφου ωσ
λογιζομαι δι ολιγων εγραψα παρακαλων και επιμαρτυρων
ταυτην ειναι αληθη χαριν του θεου εισ ην εστηκατε
13 ασπαζεται υμασ η εν βαβυλωνι συνεκλεκτη και
μαρκοσ ο υιοσ μου
14 ασπασασθε αλληλουσ εν φιληματι αγαπησ ειρηνη
υμιν πασιν τοισ εν χριστω ιησου αμην

x

# Η Καινή Διαθήκη

# The Greek New Testament according to the Byzantine Text form. Robinson-Pierpont 2018 edition

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

Translation by: Maurice A. Robinson and William G. Pierpont

This public domain Bible translation is brought to you courtesy of eBible.org. If you would like to make a donation to help keep free Bible access like this going, please visit https://eBible.org/give.php.

2024-01-09

---

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 13 Jan 2024
b320f4f6-a7ea-551a-b958-9885c39d847e